John 1:27-30

27  ὁ ὀπίσω μου ἐρχόμενος, οὗ οὐκ εἰμὶ [ἐγὼ] ἄξιος ἵνα λύσω αὐτοῦ τὸν
ἱμάντα τοῦ ὑποδήματος.
28  Ταῦτα ἐν Βηθανίᾳ ἐγένετο πέραν τοῦ Ἰορδάνου, ὅπου ἦν ὁ Ἰωάννης
βαπτίζων.
29  Τῇ ἐπαύριον βλέπει τὸν Ἰησοῦν ἐρχόμενον πρὸς αὐτόν, καὶ λέγει, **Ἴδε ὁ
ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου.**
30  οὗτός ἐστιν ὑπὲρ οὗ ἐγὼ εἶπον, Ὀπίσω μου ἔρχεται ἀνὴρ ὃς ἔμπροσθέν
μου γέγονεν, ὅτι πρῶτός μου ἦν.

Matthew 8:5-10
5  Εἰσελθόντος δὲ αὐτοῦ εἰς Καφαρναοὺμ προσῆλθεν αὐτῷ ἑκατόνταρχος
παρακαλῶν αὐτὸν
6  καὶ λέγων, Κύριε, ὁ παῖς μου βέβληται ἐν τῇ οἰκίᾳ παραλυτικός, δεινῶς
βασανιζόμενος.
7  καὶ λέγει αὐτῷ, Ἐγὼ ἐλθὼν θεραπεύσω αὐτόν.
8  καὶ ἀποκριθεὶς ὁ ἑκατόνταρχος ἔφη, Κύριε, **οὐκ εἰμὶ ἱκανὸς ἵνα μου ὑπὸ
τὴν στέγην εἰσέλθῃς· ἀλλὰ μόνον εἰπὲ λόγῳ, καὶ ἰαθήσεται ὁ παῖς μου.**
9  καὶ γὰρ ἐγὼ ἄνθρωπός εἰμι ὑπὸ ἐξουσίαν, ἔχων ὑπ᾽ ἐμαυτὸν στρατιώτας,
καὶ λέγω τούτῳ, Πορεύθητι, καὶ πορεύεται, καὶ ἄλλῳ, Ἔρχου, καὶ ἔρχεται, καὶ
τῷ δούλῳ μου, Ποίησον τοῦτο, καὶ ποιεῖ.
10  ἀκούσας δὲ ὁ Ἰησοῦς ἐθαύμασεν καὶ εἶπεν τοῖς ἀκολουθοῦσιν, Ἀμὴν λέγω
ὑμῖν, παρ᾽ οὐδενὶ τοσαύτην πίστιν ἐν τῷ Ἰσραὴλ εὗρον.

## E v a n g e l i u m s e c u n d u m I o a n n e m

1:27 ipse est qui post me venturus est qui ante me factus est cuius ego non sum
dignus ut solvam eius corrigiam calciamenti
1:28 haec in Bethania facta sunt trans Iordanen ubi erat Iohannes baptizans
1:29 altera die videt Iohannes Iesum venientem ad se et ait **ecce agnus Dei qui
tollit peccatum mundi**
1:30 hic est de quo dixi post me venit vir qui ante me factus est quia prior me
erat

## E v a n g e l i u m s e c u n d u m M a t t h a e u m

8:5 cum autem introisset Capharnaum accessit ad eum centurio rogans eum
8:6 et dicens Domine puer meus iacet in domo paralyticus et male torquetur
8:7 et ait illi Iesus ego veniam et curabo eum
8:8 et respondens centurio ait **Domine non sum dignus ut intres sub tectum
meum sed tantum dic verbo et sanabitur puer meus**
8:9 nam et ego homo sum sub potestate habens sub me milites et dico huic vade
et vadit et alio veni et venit et servo meo fac hoc et facit
8:10 audiens autem Iesus miratus est et sequentibus se dixit amen dico vobis non
inveni tantam fidem in Israhel